674. *Σκηπτοῦ 'πιόντος* — *Πρὸς τὰ ναύσταθμα αἰφνιδίου κεραυνοῦ σφοδροῦ ἐπελθόντος:* — *Ἔ ἄ* — (*In textu: ἐὰ αε.*) *Ὁ χορὸς λέγει αἴσθησιν λαβεῖν τῶν γεγονότων:* —

691. *Ἀλλὰ συμμάχους* — *Ἀλλὰ δεινὸν φησὶ τοὺς συμμάχους ταράττειν νυκτὸς οὔσης:* —

785. *Αἳ δ' ἔρεγχον,* — *Ἐκ τῶν μυκτήρων ποιὸν ἦχον ἀπετέλουν:* —

789. *Μυχθισμὸν νεκρῶν* — *Ποιὸν ἦχον· καὶ στεναγμὸν μετὰ πνοῆς γενόμενον. τὸ ἑξῆς· θερμὸς δὲ κρουνὸς αἵματος νέου δεσπότου παρασφαγαῖς δυσθνησκόντος βάλλει με:* —

(*λείπει.*)

852. *Τὶς δ' αὖ χαμεύνας* — *Τὸ ἑξῆς. τίς ἂν κατ' εὐφρόνην τῶν πολεμίων μολῶν, ῥῆσον χαμεύνα...εὗρεν:* —

859. *Ἐν σοὶ δ' ἂν ἀρχοίμεθα* — *Ἀρχὴν .....τοῦ κακολογεῖσθαι πρῶτον ὑπὸ .....σὺ ἡμᾶς πρῶτον ἦρξω κατηγορ.. ...:* —

895. *Ἰαλέμω* — (*Interlin. τῷ εὐθὺς γενομένῳ θρήνῳ.*) — *Καὶ ἀσκληπιάδης. ἐν τ͂..περὶ δουλ.........πλείους τῆς καλλιόπης λέγει παῖδας ἐν τουτ...καλλιόπη γὰρ τὸν ἀπόλλωνα μιχθέντα, γεν.....λιν...τὸν πρεσβύτερον. καὶ τρεῖς μετ' ἐκεῖνον· ὑμέναιον·.........ὀρφέα, τῷ δὲ νεωτέρῳ τὴν μὲν ἐπιθυμίαν...............ευμάτων ἐμπεσεῖν. καὶ περὶ τὴν μουσικὴν.........πάντων. οὐ μὴν τοιοῦτό γε πάθος.........γενέσθαι:* — *Ἄλλως. Ἰαλέμω ....... λεγουπαρωνομᾶσθαι ἐπὶ τιμῇ ἰαλέμου, τοῦ ἀπόλλωνος καὶ καλλιόπης· ὥς φησι πίνδαρος· ἔντι μὲν χρυσαλακάτου τεκέων.......ἀοιδαὶ ὥ..... παιάνιδες· ἔντι.....ελλοντες· ἐκ κισῦ.στέφανον ἐκ διο........αιόμεναι. τὸ δὲ κοιμίσαντρ̄..................ἀποφθιμένων· ἁ μὲν ἀχέταν λίνον αἴλινον ὑμνεῖν. ἁ δὲ ὑμέναιον· ἐργάμοισι χροϊζόμενον.........συμ̄ πρῶτ..λάβεν· ἐσχάτοις ὕμνοις· ἁ δὲ ἰάλεμον ὁμοβόλῳ νούσῳ. ὅτι παῖδα θέντοι σθένος υἱὸν οἴαγρον:* —

(*λείπει.*)

---